215

# Σαλμυδησσός

Ἀπολλοδώρου: (τοῦ Ἀθηναίου Γραμματικοῦ): Βιβλιοθήκης Βιβλίον Α'. Κεφάλ. Θ'. (20-22)
Ex Car. et Theod. Mulleri: Fragmenta Historicorum Graecorum. Parisiis 1841 v. I. σ. 120-121

Ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν, ἧς ἐβασίλευεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος. Γενναῖος δὲ ὢν οὗτος, τοὺς προσσχόντας ξένους ἠνάγκαζε πυκτεύειν, καὶ τούτῳ τῷ τρόπῳ ἀνῄρει. Παραγενόμενος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργώ, τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν προυκαλεῖτο. Πολυδεύκης δὲ ὑποσχόμενος πυκτεύειν πρὸς αὐτόν, πλήξας κατὰ τὸν αὐχένα ἀπέκτεινε. Τῶν δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτόν, ἁρπάσαντες οἱ ἀριστεῖς τὰ ὅπλα, πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν.

Ἐντεῦθεν ἀναχθέντες, καταντῶσιν εἰς τὴν Θρᾴκης Σαλμυδησσόν. Ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις πεπηρωμένος. Τοῦτον οἱ μὲν τοῦ Ἀγήνορος εἶναι λέγουσιν, οἱ δὲ Ποσειδῶνος υἱόν.

Καὶ πηρωθῆναί φασιν αὐτόν, οἱ μὲν ὑπὸ θεῶν, ὅτι προύλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα, οἱ δέ, ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι πεισθεὶς μητρυιᾷ, τοὺς ἰδίους ἐτύφλωσε παῖδας. Τινὲς δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν.

Ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἁρπυίας οἱ θεοί. Πτερωταὶ δὲ ἦσαν αὗται, καὶ ἐπειδὰν τῷ Φινεῖ παρετέθη τράπεζα, ἐξ οὐρανοῦ καθιπτάμεναι, τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. Βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν, ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν.

Οἱ δὲ παρέθηκαν αὐτῷ τράπεζαν ἐδεσμάτων, Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι τὴν τροφὴν ἥρπαζον. Θεασάμενοι δὲ οἱ Βορέου παῖδες, Ζήτης καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη, δι' ἀέρος ἐδίωκον. Ἦν δὲ ταῖς Ἁρπυίαις χρεὼν τεθνάναι ὑπὸ τῶν Βορέου παίδων· τοῖς δὲ Βορέου παισί, τότε τελευτήσειν, ὅτε ἂν διώκοντες μὴ καταλάβωσι. Διωκομένων δὲ τῶν Ἁρπυιῶν, ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν

Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται. Ταύτην δὲ οἱ μὲν Νικοθόην, οἱ δὲ Ἀελλόπουν καλοῦσιν.

Ἡ δὲ ἑτέρα, καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι, Ὠκυθόη, Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην, αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα, μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γάρ, ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν ἠιόνα ὑπὸ καμάτου πίπτει σὺν τῷ διώκοντι.

Ἀπολλώνιος δὲ ἐν τοῖς Ἀργοναύταις ἕως Στροφάδων νήσων φησὶν αὐτὰς διωχθῆναι, καὶ μηδὲν παθεῖν, δούσας ὅρκον, τὸν Φινέα μηκέτι ἀδικῆσαι.

Ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς, ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν, +... Εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας· ἐὰν δὲ ἀπολομένην, μὴ πλεῖν βιάζεσθαι. ...

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ